τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅ-
γνισμα κύριον φόνου.
Ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος παρακοπά,
παραφορὰ φρενοδαλής, ὕμνος ἐξ Ἐριννύων,
δέσμιος φρενῶν, ἀφόρμικτος, αὐονὰ βροτοῖς.
ἀντ. ά. τοῦτο γὰρ λάχος διανταία
Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν,
θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν
μάταιοι
τοῖς ὁμαρτεῖν, ὄφρ' ἂν γᾶν ὑπέλθῃ· θανὼν
δ' οὐκ ἄγαν ἐλεύθερος.
Ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος παρακοπά, πα-
ραφορὰ φρενοδαλής, ὕμνος ἐξ Ἐριννύων,
δέσμιος φρενῶν, ἀφόρμικτος, αὐονὰ βρο-
τοῖς,
στρ. β'. γιγνομέναισι λάχη τάδ' ἐφ' ἅμιν ἐκράνθη,
ἀθανάτων δ' ἀπέχειν χέρας, οὐδέ τις ἐστὶ
συνδαίτωρ μετάκοινος.
(τῶν δὲ) παλλεύκων [δὲ] πέπλων
(αἰὲν) ἄμοιρος ἄκληρος ἐτύχθην.
δωμάτων γὰρ εἱλόμαν
ἀνατροπάς, ὅταν Ἄρης, τιθασὸς ὤν, φί-
λον ἕλῃ·
ἐπὶ τὸν, ὦ διόμεναι κρατερὸν ὄνθ' ὅμως
μαυροῦμεν *ὑφ' αἵματος νέου *νέον αἷμα
ἀντ. β'. σπευδόμεναι δ' ἀφελεῖν τινὰ τάσδε με-
ρίμνας,